# TEZAUR LITURGIC

## 7 IUNIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA

## SF.CUVIOS

# PANAGHIE-PAISIE BASSIAS

## DE LA KEFALONIA

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 07 ΙΟΥΝΙΟΣ

# ΜΝΗΜΗ ΤΟΥ ΝΕΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΝΑΓΗ-ΠΑΪΣΙΟΥ ΤΟΥ ΜΠΑΣΙΑ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εις το· Κύριε εκέκραξα, ιστώμεν στίχους δ’ , και ψάλλομεν τα εξής Προσόμοια. Ήχος α’ . Πανεύφημοι Μάρτυρες.

Ορθότητα βίου καθαρού, Πάτερ προελόμενος, από παιδός ηκολούθησας, Χριστού τοις ίχνεσι, κοσμικήν απάτην, πάσαν βδελυξάμενος, και πόθω θεϊκώ αναγόμενος, σκεύος επάξιον, αρετών ώφθης Παΐσιε: δια τούτο αξίως δεδόξασαι.

Τον νουν σουτηρήσας καθαρόν, πάσης ματαιότητος, εν τη αγάπη του Κτίστου σου, Πάτερ Παΐσιε, και ιερωσύνης, χρίσμα θείον άγιον, δεξάμενος αξίως ιέρευσας, Χριστώ ως άγγελος: δια τούτο συνηρίθμησαι, των Αγίων τοις Αγίοις τάγμασιν.

Εκ έργοις εκλάμπων αγαθοίς, ως θεράπων γνήσιος, Χριστού Παΐσιε Όσιε, σαυτόν εκδέδωκας, εις διακονίαν,

του πλησίον Άγιε, αγάπης τω πυρί εκκαιόμενος· όθεν απείληφας, την του Πνεύματος ενέργειαν, και προλέγεις ακριβώς τα μέλλοντα.

Καθάρας τον νουν δι’ αρετής, πρακτικής Παΐσιε, προφητικής θείας χάριτος όργανον πέφηνας, και τα κεκρυμμένα, φανεροίς εκάστοτε, προβλέπων τα μακράν ακριβέστατα: διο εθαύμαζον, την εν σοι θείαν λαμπρότητα, οι ορώντες, τα σα προτερήματα.

Δόξα. Ήχος β’ .

Εν νόμω τω θείω τα σα κατευθύνων βήματα, πάσης κακίας εξέκλινας, και μακάριος ανήρ αληθώς, κατά Δαβίδ εδείχθης· τω γαρ θείω στοιχειούμενος φόβω, εις αρετών ανηνέχθης ακρότητα, υπερφρονήσας των γηΐνων, Παΐσιε Όσιε· και Χριστώ ευηρέστησας, εν Αγίοις ο κλήρός σοι γέγονε· μεθ’ ων Πάτερ πρέσβευε, υπέρ των τιμώντων σε.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα μου εις Σε ανατίθημι, Μήτηρ του Θεού, φύλαξόν με υπό την σκέπην Σου.

Απόστιχα. Ήχος β’ . Οίκος του Εφραθά.

Ώφθης των εντολών, εργάτης των αγίων, Παΐσιε θεόφρον· διο και επληρώθης, της θεϊκής ελλάμψεως.

Στ.: Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.

Βλέποντες την ζωήν, την σην οι Κεφαλλήνες, εθαύμαζον υμνούντες, Παΐσιε τρισμάκαρ, τον σε λαμπρώς δοξάσαντα.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς Αυτού θελήσει σφόδρα.

Έχουσα την σορόν, των θείων σου λειψάνων, η Ληξουρίου πόλις, Παΐσιε γεραίρει, την φωτοφόρον μνήμην σου.

Δόξα. Τριαδικόν.

Όλην σου την ζωήν, Τριάδι τη Αγία, ανέθου θεοφόρε· και λειτουργός της δόξης, αυτής ώφθης θεόληπτος.

Και νυν. Θεοτοκίον.

Πίστει ιερουργών, τω Σω Υιώ Παρθένε, Παΐσιος ο θείος, ανύμνει καθ’ εκάστην, τα θεία μεγαλειά Σου.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος γ’ . Θείας πίστεως.

Νέος πέφηνας, εν τοις Αγίοις, βίον ένθεον, βεβιωμένος, εν Ληξουρίω θεόφρον Παΐσιε· όθεν θαυμάτων πηγάζεις τας χάριτας, τοις προσιούσι πιστώς τη πρεσβεία σου· Πάτερ Όσιε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Ήχος α’ . Της ερήμου πολίτης.

Ληξουρίου τον γόνον, Κεφαλλήνων το καύχημα, και των ιερέων την δόξαν, θεοφόρον Παΐσιον, τιμήσωμεν εν ύμνοις και ωδαίς, ως σκεύος ουρανίων αρετών· των παισμάτων γαρ αιτείται τον ιλασμόν, τοις πίστει ανακράζουσι: δόξα τω δεδωκότι σοι ισχύν, δόξα τω σε στεφανώσαντι, δόξα τω ενεργούντι δια σου πάσιν ιάματα.

Και νυν. Θεοτοκίον.

Του Γαβριήλ φθεγξαμένου σοι Παρθένε το Χαίρε, συν τη φωνή εσαρκούτο ο των όλων Δεσπότης, εν σοι τη αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυΐδ. Εδείχθης πλατυτέρα των ουρανών, βαστάσασα τον Κτίστην σου. Δόξα τω ενοικήσαντι εν σοι· δόξα τω προελθόντι εκ σου· δόξα τω ελευθερώσαντι ημάς, δια του τόκου σου.

Απόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Ευλογησάντος του ιερέως, ο Προοιμιακός, και το· Μακάριος ανήρ. Εις δε το· Κύριε εκέκραξα, ιστώμεν στίχους στ , και ψάλλομεν τα εξής Προσόμοια.Ήχος β .

Ότε εκ του ξύλου.

Νέος, εν Αγίοις πεφηνώς, τη ση καθαρά πολιτεία και εναρέτω ζωή, Όσιε Παΐσιε, Πνεύματος όργανον, αληθώς εχρημάτισας, και της προφητείας, πλούσιον το χάρισμα, Πάτερ εισδέδεξαι: όθεν την αγίαν σου μνήμην, δήμοι Κεφαλλήνων τελούντες, ύμνοις ιεροίς σε μακαρίζομεν.

Έργοις, της αγάπης σεαυτόν, δέδωκας προθύμω καρδία, Πάτερ Παΐσιε, γνώμην ελεήμονα, επιδεικνύμενος, και απόροις επήρκεσας, και πένησι πάσι, βοηθών τοις πάσχουσι, ως του Χριστού μαθητής: όθεν επλουτίσθης αξίως, θείαις χορηγίαις θεόφρον, και Αγίων ώφθης ισοστάσιος.

Σκεύος, αρετών περιφανές, και της απαθείας δοχείον, ώφθης πολύτιμον, Άγιε Παΐσιε, οία θεράπων Χριστού: δια τούτο προέλεγες, βλέπων ως παρόντα, τα μακράν εν Πνεύματι, Αγίω Όσιε: όθεν και κρυφίων την γνώσιν, πάσιν εμφανώς εκκαλύπτεις, παρά πάντων Πάτερ θαυμαζόμενος.

Έτερα. Ήχος δ' . Ως γενναίον εν Μάρτυσιν.

Των Αγίων τοις ίχνεσιν, εν υστέροις τοις έτεσιν, ακλινώς εβάδισας, θείω έρωτι, επτερωμένος Παΐσιε, και τούτων της χάριτος, και της θείας δωρεάς, δαψιλώς κατετρύφησας, ως

θεόληπτος, ιερεύς του Υψίστού και των θείων, μυστηρίων οικονόμος, και λειτουργός ενθεώτατος.

Του Κυρίου το έλεος, και τον οίκτον μιμούμενος, ελεείς εκάστοτε γνώμη κρείττονι, λόγω και έργω Παΐσιε, εκ των υπαρχόντων σοι, ενδεέσι και πτωχοίς, χορηγών δαψιλέστατα, και τους πταίοντας, οδηγείς προς μετάνοιαν τελείαν, και προς τρίβον σωτηρίας, τοις θεοφθόγγοις σου ρήμασι.

Την σορόν των λειψάνων σου, ως αγίασμα ένθεον, την οσμήν της χάριτος αποπνέουσαν, και θησαυρόν θεοδώρητον, Ληξούριον κέκτηται, και την μνήμην σου σοφέ, εορτάζει Παΐσιε, και κραυγάζει σοι: από πάσης με λύτρωσαι ανάγκης, συν τω θείω Γερασίμω, Χριστόν ημίν ιλεούμενος.

Δόξα. Ήχος πλ. β’ .

Των θείων εντολών, εργάτης γενόμενος, εν αρεταίς τον βίον διήνυσας, και ευποιΐαις παντοίαις, θεόφρον Παΐσιε: σαυτόν γαρ Χριστώ αναθέμενος, καταλλήλως πεπολίτευσαι, των χαμαί συρομένων οία ρεόντων, τον νουν χωρίσας· και ιερωσύνης ενδυσάμενος την στολήν, ευαγγελικώς Χριστώ ιεράτευσας εν ταπεινώσει πολλή· όθεν λαπρώς εδοξάσθης,

και προφητικώ χαρίσματι, την σην εκφαίνεις λαμπρότητα. Και νυν συν τοις απ’ αιώνος Αγίοις χορεύων, συν αυτοίς απαύστως πρέσβευε, ελεηθήναι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; τις μη ανυμνήσει σου τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι' ημάς: ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Φως ιλαρόν. Προκείμενον της ημέρας. Αναγνώσματα.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. γ' 1)

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ’ ημώνπορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται·ότι ο Θεός επείρασεν αυτούς, και εύρεν

αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τουςαιώνας. Οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το ανάγνωσμα. (Κεφ. ζ'.7)

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις, και ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη· και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού· βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ

θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. ε' 15)

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού, και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην· και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται· και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν βασιλείς, και

σύνετε· μάθετε δικασταί περάτων γης. Ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Λιτή. Ήχος α’ .

Ευφραίνου εν Κυρίω, η του Χριστού Εκκλησία, ως μήτηρ καλλίτεκνος επί τέκνοις χορεύουσα· ιδού γαρ και εν υστέροις χρόνοις, Παΐσιος ο θείος, των πάλαι Αγίων χαρακτηρίσας την ζωήν, των εν σοι δεδογμένων την ακρίβειαν, σφραγίζει έτι άπαξ τοις θαύμασιν· ευαγγελικοίς γαρ χαρίσμασι διαλάμπει, και ευργεσιών επιδείξει, οδηγεί προς το θείον θέλημα, και πρεσβεύει υπέρ των ψυχών ημών.

Ήχος β’.

Ολοσχερώς Θεόν αγαπήσας, και τον πλησίον ως σεαυτόν ηγάπησας, τω θείω είκων νόμω θεοφόρε Παΐσιε· ασκητικοίς γαρ πόνοις, την σάρκα ενέκρωσας, προς ζωήν θείαν αναγόμενος· και πνευματικαίς εργασίαις, τω πέλας ποικίλως βοηθών, ευεργετών διετέλεσας· και ελεήμονα χείρα, επορέγων τοις πτωχοίς, αμαρτανόντων ιατήρ εδείχθης, προς μετάνοιαν επανάγων, εξ οδού απωλείας,

διδαχαίς τε και θαύμασι· διο την αγίαν σου, μνήμην Πάτερ εορτάζομεν.

Ήχος γ' .

Τοις απλάστοις τρόποις σου, και ζωής τη καθαρότητι, ευαρεστήσας Κυρίω, όσιος και δίκαιος και άκακος ώφθης, εν οδώ αμώμω, προφητικώς Παΐσιε· και προφητικοίς κεκοσμημένος προτερήμασι, τους πάντας εξέπληττες, εν τη δοθείση σοι χάριτι· τα γαρ πόρρω προέλεγες, και τα εν βάθει των καρδιών απεκάλυπτες, θεοσόφω λόγω σου· ούτω γαρ δοξάζει Χριστός, τους Αυτόν δοξάζοντας ως επηγγείλατο, Ω πρέσβευε υπέρ των τιμώντων σε.

Ήχος δ' .

Τω νοητώ αρότρω, κεχερσωμένας καρδίας γεηπονών, πολύν καρπόν προσήγαγες Χριστώ, θεοφόρε Πάτερ Παΐσιε, ως σοφός οικονόμος των μυστηρίων του Πνεύματος, και Αποστόλων μιμητής· και καλώς τελέσας την σην ιερουργίαν, εν τω άνω θυσιαστηρίω προσεχώρησας, ως ιερεύς ευπρόσδεκτος· διο σου δεόμεθα· τας υπέρ ημών ιλαστήριος δεήσεις, μη παύση αναφέρων Χριστώ, ως αν εύρωμεν έλεος, εν τη ημέρα της Κρίσεως.

Δόξα. Ο αυτός.

Τον εν Οσίοις ιερέα, και εν ιερεύσιν όσιον θεράποντα Χριστού, Παΐσιον τον αξιάγαστον, ασματικοίς επαίνοις καταστέψωμεν· τοις πάλαι γαρ Αγίοις αμιλληθείς, ως άστρον νεοφανές έλαμψεν εν Ληξουρίω, ευαγγελικοίς σκάμμασι, και ευποιΐας πράξεσι, και οικτιρμοίς πενήτων· και νυν τον αμαράντινον, αναδησάμενος στέφανον, πρεσβεύει απαύστως Κυρίω, διδόναι ημίν πταισμάτων λύσιν και το μέγα έλεος.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων τους δούλους Σου φύλαττε ευλογημένη Θεοτόκε, ίνα Σε δοξάζωμεν την ελπίδα των ψυχών ημών.

Εις τον Στίχον. Ήχος πλ. α’ . Χαίροις ασκητικών.

Χαίροις, ο Ληξουρίου βλαστός, Κεφαλληνίας ιερόν εγκαλλώπισμα, Παΐσιε θεοφόρε, ο εν Αγίων χοροίς, άρτι διαλάμψας βίω κρείττονι· Χριστού τη αγάπη γαρ, πτερωθείς την διάνοιαν, των εν τω κόσμω,αγαθών ξένος πέφηνας, και ισάγγελον, πολιτείαν διέδραμες· όθεν προς υπερκόσμιον, ανήχθης λαμπρότητα, και αφθαρσίας το

γέρας, παρά Κυρίου δεξάμενος, απαύστως δυσώπει, ταις ψυχαίς ημών δοθήναι το μέγα έλεος.

Στ.: Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.

Χαίροις, της ευποιΐας πυρσός, των δωρεών των θεϊκών πλούτος άσυλος, Παΐσιε θεοφόρε, ο επαρκέσας καλώς, πένησιν απόροις και τοις πάσχουσιν· εντεύθεν πεπλήρωσαι, ουρανίου ελλάμψεως, πάσι πρλέγων, εσομένων την εκβασιν, και ιώμενος, ψυχικά αρρωστήματα· όθεν και τα απόκρυφα, εις φως φέρων Όσιε, μυσταγωγείς ευσπλαγχνίας, της θεϊκής την χρηστότητα, απαύστως πρεσβεύων, ταις ψυχαίς ημών δοθήναι το μέγα έλεος.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς Αυτού θελήσει σφόδρα.

Χαίρει, την σην αγίαν σορόν, ως μυροθήκην νοητού αγιάσματος, Ληξουρίου η πατρίς σου, καταπλουτούσα σοφέ, εν σοι εγκαυχάται και σεμνύνεται, και πόθω την μνήμην σου, εορτάζει Παΐσιε, τα της ζωής σου, ευκλεή προτερήματα, μακαρίζουσα, και τοις πάσι κηρύττουσα· ταύτην γαρ καθηγίασας, τοις θείοις αγώσί σου, και εν αυτή καλών έργων, στήλην και τύπον παρέστησας· η νυν Πάτερ αίτει, ιλασμόν και σωτηρίαν, και θείον έλεος.

Δόξα. Ήχος πλ. δ' .

Ευαγγελίου τα διδάγματα, πολλαπλώς γεωργήσας, δαψιλή καρποφορίαν, τη Εκκλησία Πάτερ προσήγαγες· εν ασκήσει γαρ θεοειδής, και εν ελέει και οικτιρμοίς θεόληπτος, αληθώς εχρημάτισας· και πιστώς ιερουργών Κυρίω, προφητικής επιπνοίας και χάριτος, όργανον εγένου, των ευσεβών παιδεύων το φρόνημα, ως ιερεύς θεοφόρος, Παΐσιε Όσιε, προς σωτηρίαν αιώνιον.

Και νυν. Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τον Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού του υψίστου, σων οικετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα καθαρισμόν των πταισμάτων, νυν τας ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος γ' . Θείας πίστεως.

Νέος πέφηνας, εν τοις Αγίοις, βίον ένθεον, βεβιωμένος, εν Ληξουρίω θεόφρον Παΐσιε· όθεν θαυμάτων πηγάζεις τας χάριτας, τοις προσιούσι πιστώς τη πρεσβεία σου· Πάτερ Όσιε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Ήχος α’ . Της ερήμου πολίτης.

Ληξουρίου τον γόνον Κεφαλλήνων το καύχημα, και των ιερέων την δόξαν, θεοφόρον Παΐσιον, τιμήσωμεν εν ύμνοις και ωδαίς, ως σκεύος ουρανίων αρετών· των πταισμάτων γαρ αιτείται τον ιλασμόν, τοις πίστει ανακράζουσι· δόξα τω δεδωκότι σοι ισχύν, δόξα τω σε στεφανώσαντι, δόξα τω ενεργούντι δια σου πάσιν ιάματα.

Και νυν. Θεοτοκίον.

Του Γαβριήλ φθεγξαμένου σοι Παρθένε το Χαίρε, συν τη φωνή εσαρκούτο ο των όλων Δεσπότης, εν σοι τη αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυΐδ. Εδείχθης πλατυτέρα των ουρανών, βαστάσασα τον Κτίστην σου. Δόξα τω ενοικήσαντι εν σοι· δόξα τω προελθόντι εκ σου· δόξα τω ελευθερώσαντι ημάς, δια του τόκου σου.

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α’ στιχολογίαν,

Κάθισμα. Ήχος α’ . Τον τάφον Σου Σωτήρ.

Ανέτειλας σοφέ, ως νεόφωτον άστρον, υστέροις τοις καιροίς, τη αγία ζωή σου, και έργοις θείας πίστεως, των πιστών την

διάνοιαν, κατεπύρσευσας, προς αρετών επιδόσεις· όθεν σήμερον, την σην γεραίρομεν μνήμην, Παΐσιε Όσιε.

Δόξα. Και νυν. Θεοτοκίον.

Εκύησας ημίν, τον Υπέρθεον Λόγον, καινίζουσα ημών, την φθαρείσαν ουσίαν, ατρέπτως υπέρ έννοιαν, και παρθένος διέμεινας, μετά κύησιν, ως προ του τόκου Παρθένε· όθεν άπαντες, τα μεγαλειά Σου Κόρη, υμνούντες δοξάζομεν.

Μετά την β' στιχολογίαν,

Κάθισμα. Ήχος δ' . Ταχύ προκατάλαβε.

Κοσμήσας τον βίον σου των αρετών καλλοναίς, πιστώς ιεράτευσας, τω επί πάντων Θεώ, Παΐσιε Όσιε· συ γαρ εν ιερεύσι, θεοφόρος εδείχθης, θαύμασι διαλάμπων, και προγνώσεσι πλείσταις· διο της ουρανίου ζωής κατηξίωσαι.

Δόξα. Ο αυτός. Επεφάνης σήμερον.

Ενεργεία Πνεύματος, του Παναγίου, προδηλοίς τα μέλλοντα, και σαφηνίζεις εναργώς, τα εν κρυπτώ ενεργούμενα, Όσιε Πάτερ, θεόφρον Παΐσιε.

Και νυν. Θεοτοκίον.

Του Πατρός το σύνθρονον, Θεοκυήτορ, εν βροτείω σώματι, εκύησας δίχα τροπής· διο το μέγα μυστήριον, της Σης υμνούμεν, ασπόρου κυήσεως.

Μετά τον Πολυέλεον,

Κάθισμα. Ήχος πλ. α' . Τον συνάναρχον Λόγον.

Ληξουρίου η πόλις Πάτερ σεμνύνεται, καυχωμένη τοις θείοις σου προτερήμασι, και του σου βίου τα λαμπρά γεραίρει σκάμματα, και τας προγνώσεις τας πολλάς, και προοράσεις τας σεπτάς, κηρύττει ευφήμω γλώσση, Παΐσιε θεοφόρε, Χριστού θεράπων ενθεώτατε.

Δόξα. Και νυν. Θεοτοκίον.

Την πυρίμορφον βάτον και ακατάφλεκτον, την δεξαμένην αφλέκτως το της θεότητος πυρ, και τεκούσαν εν σαρκί τον πάντων Κύριον, την Θεοτόκον Μαριάμ, ανυμνήσωμεν πιστοί, βοώντες από καρδίας· χαίρε αγνή Θεομήτορ, ημών προστάτις και βοήθεια.

Οι Αναβαθμοί· το α' Αντίφωνον του δ' ἤχου.

Προκείμενον: Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς Αυτού θελήσει σφόδρα.

Ευαγγέλιον Οσιακόν. Ο Ν ψαλμός.

Δόξα: Ταις του Σου Οσίου…

Και νυν: Ταις της Θεοτόκου…

Ιδιόμελον. Ήχος πλ. β . Στ.: Ελέησόν με ο Θεός...

Των αρετών τω φωτί, την σην ζωήν καταλαμπρύνας, λύχνος ευσεβείας ώφθης, και οδηγός των πιστών, Παΐσιε θεομάκαρ· και του παρόντος βίου, παραδραμών την νύκτα, τω ανεσπέρω φωτί της άνω δόξης ανέδραμες, της αιωνίου χαράς αξιούμενος. Αυτής και ημάς καταξίωσον, ταις προς Θεόν ευχαίς σου, δεόμεθα Πάτερ, τους πόθω τιμώντάς σε.

Είτα, οι Κανόνες· της Θεοτόκου, και του Αγίου, ου η ακροστιχίς: Παϊσίω μέλισμα τω θεολήπτω. Γερασίμου.

Ωδή α’ . Ήχος δ’ . Ανοίξω το στόμα μου.

Παθών μου την ζόφωσιν, θείω φωτί σου διάλυσον, Φιλάνθρωπε Κύριε, ως του φωτός χορηγός, ίνα μέλψω σου, τον νέον εν Αγίοις, θεράποντα Όσιον, θείον Παΐσιον.

Αμέμπτως εβίωσας, από νεότητος Όσιε, φυλάξας αμέτοχος, της εν τω κόσμω φθοράς, την καρδίαν σου, Παΐσιε θεόφρον· διο θείας χάριτος, ώφθης θησαύρισμα.

Ιέρευσας Όσιε, επί της γης ώσπερ άγγελος, Χριστώ τω Παντάνακτι, ω και προσήγαγες, ως ευπρόσδεκτον, θυσίαν και αγίαν, του βίου Παΐσιε, τας αριστείας σου.

Θεοτοκίον.

Σκηνή θεοχώρητος, και χρυσαυγές ενδιαίτημα, του πάντων δεσπόζοντος, ώφθης πανάχραντε, του εκ μήτρας Σου, αφράστως προελθόντος, και κόσμον καινίσαντος, δι’ αγαθότητα.

Ωδή γ’ . Τους Σους υμνολόγους.

Ιλύος παθών αποκαθάρας, το όμμα θεόφρον της ψυχής, προέβλεπες Παΐσιε, τα πόρρω θείω Πνεύματι, και πάσι τα απόκρυφα, λόγω τω σω απεκάλυπτες.

Ως λύχνος λαμπρός εν Ληξουρίω, εκλάμπεις τοις έργοις του φωτός, και καταυγάζεις Όσιε, αγάπης τοις πυρσεύμασι, τους εν νυκτί Παΐσιε, πάσης ανάγκης και θλίψεως.

Μεγίσταις εμπρέπων ευποιΐαις, διένειμας άπασαν την σην, περιουσίαν Όσιε, απόροις τε και πάσχουσι, τα θεία αντικτώμενος, και μηδαμώς παρερχόμενα.

Θεοτοκίον.

Ετέχθη αγνών Σου εκ λαγόνων, μη φθείρας την μήτραν Σου αγνή, ο εκ μη όντων άπαντα, παραγαγών δι’ έλεος, και έσωσε τον άνθρωπον, εκ της φθοράς ως φιλάνθρωπος.

Κάθισμα. Ήχος δ’ . Κατεπλάγη Ιωσήφ.

Την οσίαν σου ζωήν, ο καλών έργων βραβευτής, αμειβόμενος σοφέ, χάριν σοι δέδωκε πολλήν, του προοράν

και προλέγειν τα εσόμενα· όθεν φανεροίς, πλείστοις τα άδηλα, γνώμη συμπαθεί, χείρα φιλεύσπλαγχνον, τοις ενδεέσιν ορέγων Παΐσιε, και βοηθών τοις εν θλίψεσι· διο αξίως, επουρανίων αμοιβών κατηξίωσαι.

Δόξα. Και νυν. Θεοτοκίον.

Εξ αχράντου Σου γαστρός, ο υπερούσιος Θεός, ουσιώθη υπέρνούν, και ώφθη τέλειος βροτός, μη αποστάς της οικείας Θεότητος, και έσωσεν ημάς, εκ της αρχαίας αράς, ο φύσει αγαθός και πολυεύσπλαγχνος· διο Παρθένε, την άρρητον δόξαν Σου, υμνολογούντες κραυγάζομεν· χαίρε του κόσμου, η σωτηρία, και βροτών ανακαίνισις.

Ωδή δ’ . Ο καθήμενος εν δόξη.

Λαμπρυνόμενος τω φέγγει θείων έργων Παΐσιε, λειτουργός θεόφρων, οία ιερεύς θεοφόρητος, ως αληθώς ανεδείχθης θείω έρωτι, ψάλλων Όσιε· δόξα Χριστέ τη δυνάμει Σου.

Ισχύν θείαν κεκτημένος ανδρικώς Πάτερ έφερες, θλίψεις εν τω κόσμω, και της ασθενείας την κακώσιν, και δι’ αυτών προς τα άνω αναγόμενος, πίστει έκραζες· δόξα Χριστέ τη δυνάμει Σου.

Συντονία εναρέτων επιδόσεων Όσιε, γεηρών απάντων, ξένος τε και πάροικος γέγονας, προς την ουράιον πόλιν επεγόμενος, ης ηξίωσαι, καλώς τελέσας τον δρόμον σου.

Θεοτοκίον.

Μυροθήκη θεοδόχος και χρυσή και πολύτιμος, ώφθης Θεοτόκε, τέξασα ως μύρον ουράνον, τον ζωοδότην Χριστόν και πάντων Κύριον, τον παρέχοντα, οσμήν ζωής την αθάνατον.

Ωδή ε' . Εξέστη τα σύμπαντα.

Αγάπης το άνθρακι, φλεγόμενος Παΐσιε, ως Χριστού θεράπων θεοφόρος, των εν ανάγκαις και πλείσταις θλίψεσιν, ώφθης βοηθός και αρωγός, και παρέχεις άπασι, τύπον βίου λαμπρότητος.

Τω μύρω της χρίσεως, χρισθείς του θείου Πνεύματος, θείος ιερεύς ώφθης Κυρίου, και ευωδία των θείων έργων σου, πάσαν ευωδίασας ψυχήν, και παθών απήλασας, δυσωδίαν Παΐσιε.

Ως μύστην ουράνιον, και αρετής διδάσκαλον, οι εν Ληξουρίω σε πλουτούντες, τω θείω φόβω καλώς ιθύνοντο, και τω υποδείγματι τω σω, Πάτερ παιδευόμενοι, τον Σωτήρα εδόξαζον.

Θεοτοκίον.

Θαυμάτων θαύμα μέγιστον, ωράθης Θεονύμφευτε, τέξασα τον πάντων Βασιλέα, ανερμηνεύτως εκ των αιμάτων των Σων· όθεν πάσα κτίσις προσκυνεί, και δοξάζει άχραντε, τον απόρρητον Τόκον Σου.

Ωδή στ' . Την θείαν ταύτην.

Εν τω φωτί ελλαμπόμενος, του Πνεύματος Παΐσιε Όσιε, ως καθαρώτατος, το της προγνώσεως χάρισμα, προσεφαπλοίς πλουσίως, εκπλήττων άπαντας.

Ο των Οσίων ομότροπος, και Ληξουριωτών θείος έφορος, υμνολογείσθω μοι, ο θεοφόρος Παΐσιος, Χριστού ιερομύστης, ο ενθεώτατος.

Λάμπων τοις έργοις της πίστεως, πολλή εν ταπεινώσει και χάριτι, Πάτερ Παΐσιε, παιδαγωγείς φόβω κρείττονι, προς σωτηρίας τρίβους πιστών το πλήρωμα.

Θεοτοκίον.

Ηλίου όχημα πάμφωτον, του της δικαιοσύνης πανύμνητε, παθών ζοφώσεως, την σκοτισθείσαν καρδίαν μου, απάλλαξον και σώσόν με, τον ικέτην Σου.

Κοντάκιον. Ήχος δ’ . Ο υψωθείς.

Ανατεθείς ολοσχερώς τω Κυρίω, δικαιοσύνης ανεδείχθης εργάτης, και εναρέτου βίου υποτύπωσις· όθεν τη των τρόπων σου, καθαρότητι Πάτερ, χάρις σοι δεδώρηται, Παρακλήτου πλουσία, πάσι προλέγειν τα εν κρυπτώ, τοις προσιούσι Παΐσιε Όσιε.

Ο Οίκος.

Ευαγγελίου τοις ρήμασι Πάτερ, ακολουθών απεριτρέπτω καρδία, της αγάπης τους καρπούς εγεώργησας, της προς τον Θεόν και τον πλησίον, οία φοίνιξ κατάκαρπος· και ταις εντολαίς ταις θείαις πορευόμενος και ρυθμίζων σεαυτόν, έργοις ευσεβείας διέλαμψας, και τω Θεώ ευάρεστος γέγονας, και ιερωσύνης την στολήν ημφίεσαι, ως σκεύος της χάριτος επάξιον· εντεύθνε ποικιλοτρόπως και τον πλησίον ευεργετών, της του Παρακλήτου ενεργείας όργανον πέφηνας, ως οικονόμος ψυχών και των θείων μυστηρίων λειτουργός ιερός· θείω γαρ λαμπρυνόμενος φωτί, ηξίωσαι προλέγειν τα εν τω κρυπτώ, τοις προσιούσι Παΐσιε Όσιε.

Συναξάριον.

Τη Ζ τοῦ αυτού Μηνός, Μνήμη του Οσίου Παϊσίου-Παναγή Μπασι α, του εν Ληξουρίω Κεφαλληνίας Αμέμπτω Παΐσιε εμπρέψας βίω, αξίως δεδόξασαι εν τοις υψίστοις. εβδομάτη Παϊσίο ιο ενθένδε ήτορ αέρθη.

Ωδή ζ' . Ουκ ελάτρευσαν.

Προς ανέσπερον ζωήν Πάτερ ανέδραμες, καλώς τελέσας σου, τον δρόμον επί της γης, Αγίων ταις τάξεσι, συναριθμούμενος, μεθ' ων πρέσβευε, Παΐσιε μακάριε, υπέρ των σε ανυμνούντων.

Την του Πνεύματος δεξάμενος ενέργειαν, πάντας εξέπληττες, προαγορεύων σαφώς, τα μέλλοντα Όσιε, σοφοίς σου φθέγμασι, και εκραύγαζες· Ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Ως θεόληπτος ιερουργός και Όσιος, Πάτερ Παΐσιε, εν τω πανσέπτω ναώ, του θείου Σπυρίδωνος, ψάλλων εκραύγαζες· Ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Θεοτοκίον.

Γέλως γέγονα εχθρώ τω παναλάστορι, πράττων τα άτοπα, εν αφροσύνη νοός· αλλά Συ πανάμωμε, τάχος με έγειρον, εκ

του πιώματος, και δίδου μοι επίγνωσιν, και μετάνοιαν γνησίαν.

Ωδή η’ . Παίδας ευαγείς.

Είχέ σε η πόλις Ληξουρίου, και τύπον οδηγόν τε προς τα κρείττονα, Άγιε Παΐσιε, Πνεύματι λαμπόμενον, νυν δε σου τα μυρίπνοα λείψανα έχουσα, τελεί σου χαρμοσύνως την μνήμην, προς τον πάντων Κτίστην, προβάλλουσά σε πρέσβυν.

Ρήμασί σου Πάτερ θεοσόφοις, προλέγων και εκκαλύπτων αδηλότατα, ως σοφός διδάσκαλος, ήγες προς μετάνοιαν, τους πίστει δεχομένους σε· μεθ’ ων και έψαλλες· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Άκακος και όσιος και πράος, ως μύστης ενθέων έργων ακριβέστατος, ώφθης Πάτερ Όσιε, και πιστώς ιέρευσας, Χριστώ τω Παντοκράτορι ψάλλων· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Θεοτοκίον.

Σώμα και ψυχήν εκ Σου ο Λόγος, Παρθένε αναλλοιώτως προσλαβόμενος, κόσμω διπλούς πέφηνε, και ημάς ανέσωσε, της πάλαι κατακρίσεως δι’ αγαθότητα· διο Σε

Θεοτόκε υμνούμεν, και υπερυψούμεν, τον άφραστόν Σου Τόκον.

Ωδή θ' . Άπας γηγενής.

Ίχνεσι σοφέ, αμέμπτως εβάδισας ενθέοις πράξεσι, και βίου σεμνότητι, και ευποιΐαις Πάτερ Παΐσιε, των δοξασάντων πρότερον Χριστόν τον Κύριον, μεθ' ων δόξης, της υπέρ κατάληψιν, μετά τέλος το θείον τετύχηκας.

Μόνον του Χριστού, το κάλλος επόθησας Πάτερ Παΐσιε· όθεν διελήλυθας, εν τώδε κόσμω οίά περ άγγελος, όλον τον βίον Όσιε πολλή χρηστότητι, προφητείας, διαλάμπων χάρισιν, ως θεράπων Κυρίου θερμότατος.

Όμβρησον καμοί, ταις θείαις πρεσβείαις σου Πάτερ Παΐσιε, δρόσον θείας χάριτος, τω τηκομένω πολλοίς εν πάθεσι, και τον παρόντα ύμνον μου δέξαι μακάριε, και κακίστης, έξεώς με λύτρωσαι, ως Χριστού μιμητής συμπαθέστατος.

Θεοτοκίον.

Ύμνοις και ωδαίς, υμνούμεν την δόξαν Σου την ακατάληπτον, Κόρη υπερένδοξε, ευλογημένη Θεοχαρίτωτε· τον γαρ της δόξης Κύριον αφράστως τέξασα, αδοξίας χαλεπής απήλλαξας, το ανθρώπινον γένος δι' έλεος.

Εξαποστειλάριον. Τοις Μαθηταίς συνέλθωμεν.

Εν αρεταίς διέλαμψας, και πολλαίς ευποιΐαις, και προφητείας χάρισμα, δαψιλώςεκομίσω, παρά Θεού θεοφόρε, ως Αυτού υπηρέτης, και ιερεύς ευπρόσδεκτος, και θεράπων και θείος μυσταγωγός· δια τούτο πάντες σου την αγίαν, Παΐσιε μακάριε, εορτάζομεν μνήμην.

Θεοτοκίον.

Εκ των αγνών αιμάτων Σου, απορρήτως τέξασα, ανερμηνεύτως πάναγνε, τον Θεόν των απάντων, των Προφητών τας προρρήσεις, εξεπλήρωσας πάσας· διο Σε μεγαλύνομεν ως Μητέρα του πάντων Δημιουργού, και Παρθένον άφθορον μετά τόκον, και σωτηρίας πρόξενον, ημών άχραντε Κόρη.

Αίνοι. Ήχος α’ . Των ουρανίων ταγμάτων.

Των ουρανίων την δόξαν ποθήσας Όσιε, των επιγείων πάντων, υπερείδες την σχέσιν, και πίστει ηκολούθησας τω Χριστώ, εναρέτοις σου πράξεσι, και της αγάπης Παΐσιε αληθώς, τοις ενθέοις κατορθώμασι.

Της προφητείας την χάριν Πάτερ δεξάμενος, ως καθαρθείς την φρένα, τη αμέμπτω ζωή σου, προέλεγες Παΐσιε

ακριβώς, τα εσόμενα Όσιε, και των αδήλων την γνώσιν γνωστοποιών, τους ακούοντας εξέπληττες.

Φιλελεήμονι γνώμη πτωχοίς επήρκεσας, ως μιμητής Κυρίου, βοηθών θεοφόρε, τοις πάσχουσιν ποικίλως και χαλεποίς, τρυχομένοις παθήμασι· διο αξίως εδέξω παρά Χριστού, την αντάμειψην Παΐσιε.

Των ιερών σου λειψάνων Πάτερ την λάρνακα, πιστώς περικυκλούντες, θείαν χάριν τρυγώμεν, Παΐσιε θεόφρον και την σεπτήν, εορτάζοντες μνήμην σου, επιβοώμεθα πάντες από ψυχής, την πρεσβείαν σου προς Κύριον.

Δόξα. Ήχος πλ. α' .

Όσιε Πάτερ, των πάλαι Αγίων ιχνηλατήσας την ζωήν, αγιοπρεπώς πεπολίτευσαι, όλον τον πόθον, μεταθείς προς Κύριον· εν εγκρατεία γαρ θεόληπτος ώφθης, και εν έργοις αγάπης, και οικτιρμοίς πενήτων, πλήρης χρηστότητος, το θείον έλεος μιμούμενος· διο Χριστός ο Κύριος, προφητικής σε χάριτος ηξίωσε, και περίβλεπτον τοις πάσι, και αιδέσιμον έδειξεν. Αλλ' ω Πάτερ Παΐσιε, Αυτόν εκτενώς ικέτευε, σώζεσθαι τους σε μακαρίζοντας.

Και νυν. Θεοτοκίον

Ναός και πύλη υπάρχεις, παλάτιον και θρόνος του Βασιλέως, Παρθένε πάνσεμνε, δι' ης ο λυτρωτής μου Χριστός ο Κύριος, τοις εν σκότει καθεύδουσιν επέφανεν, Ήλιος υπάρχων δικαιοσύνης, φωτίσαι θέλων ους έπλασε, κατ' εικόνα ιδίαν χειρί τη εαυτού. Διο Πανύμνητε, ως μητρικήν παρρησίαν προς αυτόν κεκτημένη, αδιαλείπτως πρέσβευε, σωθήναι τας ψυχάς ημών.

Δοξολογία Μεγάλη και Απόλυσις.

Μεγαλυνάριον.

Χαίροις Ληξουρίου θείος βλαστός, και των ιερέων εγκαλλώπισμα ιερόν· χαίροις ευποιΐας, Παΐσιε η βρύσις, προφητικών χαρίτων, χαίρε το όργανον.

